
Ὁ ἅγιος
Θεοδόσιος
ὁ Κοινοβιάρχης



# Ο ΟΣΙΟΣ ΘΕΟΔΟΣΙΟΣ Ο ΚΟΙΝΟΒΙΑΡΧΗΣ*

Στὰ χρόνια τῆς βασιλείας τοῦ αὐτοκράτορα Λέοντα τοῦ Μεγάλου γεννήθηκε στὴ Μωγαρισσὸ τῆς Καππαδοκίας (450 μ.Χ.) ὁ ὅσιος καὶ θεοφόρος Θεοδόσιος ὁ Κοινοβιάρχης. Τοὺς γονεῖς του Προαιρέσιο καὶ Εὐλογία διέκρινε ἡ βαθιὰ πίστη καὶ εὐσέβεια. Ὁ μικρὸς Θεοδόσιος ἀνατράφηκε ἀπὸ αὐτοὺς «ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου» (Ἐφεσ. στ΄ 4). Ἀπὸ τὰ παιδικά του χρόνια ἔδειχνε ὅτι ἦταν ἐφοδιασμένος μὲ προσόντα καὶ χαρίσματα πολλά. Προσέβλεπε στὴν ἠθικὴ τελειοποίηση καὶ ἁγιασμό του κατὰ τὴν προτροπὴ τοῦ Ἀποστόλου Παύλου «τοῦτο ἐστὶ θέλημα Θεοῦ, ὁ ἁγιασμὸς ἡμῶν» (Α΄ Θεσ. δ΄ 3).

Ἀγωνίσθηκε γενναῖα κατὰ τοῦ κόσμου καὶ μάλιστα τοῦ κόσμου τῆς ἁμαρτίας· αὐτοῦ ποὺ τοῦ πρόβαλλε ζωηρὰ τὰ ἀγαθά του, τὶς τέρψεις του, τὶς ἡδονές του. Ὁ εὐσεβὴς ὅμως νέος δὲν δελεάστηκε! Νίκησε τὶς ἐπιθέσεις τοῦ ἐχθροῦ καὶ γεμάτος ἀποφασιστικότητα προχώρησε τὸν δρόμο τῆς μοναδικῆς πολιτείας. Ἐγκατέλειψε τὴν πατρικὴ στέγη, γονεῖς, συγγενεῖς καὶ φίλους, ἐνῶ γεμάτος χαρὰ καὶ ἐσωτερικὴ ἱκανοποίηση ἀναφωνοῦσε· «Ἐμοὶ ὁ κόσμος ἐσταύρωται κἀγὼ τῷ κόσμῳ» (Γαλ. στ΄ 14).

Νικητὴς ἤδη τοῦ κοσμικοῦ φρονήματος κίνησε νὰ προσκυνήση τοὺς Ἁγίους Τόπους, τοὺς τόπους ποὺ πάτησε καὶ ἁγίασε ὁ Κύριός μας. Στὸ δρόμο πρὸς τὰ Ἱεροσόλυμα βρέθηκε κάτω ἀπὸ τὸ στύλο τοῦ ὁσίου Συμεὼν τοῦ Στυλίτου στὴν Ἀντιόχεια. Ἀπὸ τὸν ὅσιο αὐτὸ ἄντλησε δύναμη καὶ γέμισε μὲ πνευματικὰ ἐφόδια. Προετοιμάστηκε ἔτσι οὐσιαστικότερα στὴν ἄρση τοῦ

* Ἀναλυτικὴ βιογραφία τοῦ Ὁσίου Θεοδοσίου περιλαμβάνεται στὸ ἐξαίρετο σύγγραμμα τοῦ Ἰωσὴφ Ἀγαπητοῦ «Ὁ Γαλήνιος Ποιμενάρχ» ποὺ ἐξέδωσε ἡ Μονή μας.



ζυγοῦ τοῦ Κυρίου, ποὺ θὰ τὸν ὁδηγοῦσε «εἰς τὴν δόξαν τοῦ Θεοῦ» (Β΄ Κορινθ. δ΄ 15). Βάζοντας ὑπακοὴ σὲ κάποιο σοφὸ Γέροντα Λογγίνο ἀσκήθηκε στὴν ἐγκράτεια, τὴ νηστεία, τὴν αὐταπάρνηση, τὴν διάκριση. Μὲ ἀχώριστο σύντροφο τὸν ἀκράτητο ἐνθουσιασμό του προχώρησε σὲ ἀσκητικότερη ζωή. Ἦλθε στὴν ἔρημο τῆς Βηθλεὲμ καὶ βρῆκε κατάλυμα στὸ σπήλαιο ποὺ διανυκτέρευσαν οἱ Μάγοι μετὰ τὴν προσκύνηση τοῦ νεογέννητου Χριστοῦ καὶ τοὺς ἐπρόσταξε ὁ ἄγγελος νὰ ἐπιστρέψουν «δι' ἄλλης ὁδοῦ» (Β΄ Ματθ. β΄ 12) στὴ χώρα τους ἀποφεύγοντας ἐπικοινωνία μὲ τὸν Ἡρώδη. Ἡ ἄσκησή του ἦταν ἀδιάλειπτη, ὅπως καὶ ἡ προσευχή του. Τροφὴ ἔπαιρνε μιὰ μόνο φορὰ τὴν ἑβδομάδα, ἐνῶ ψωμὶ δὲ γεύθηκε γιὰ τριάντα ὁλόκληρα χρόνια. Ὑπέβαλε τὸν ἑαυτό του σὲ ἀνείπωτους κόπους καὶ συνάμα μελετοῦσε τὸ ἱερὸ Εὐαγγέλιο.

Τὸ ἀποτέλεσμα τῆς βαριᾶς καὶ ἐπίπονης ἀσκήσεώς του ὑπῆρξε ἄμεσο. Ἡ θεία Χάρη τὸν ἐπισκίασε πλούσια καὶ ἁγίασε τὶς ἱερές του προσπάθειες. Ἐφώτισε τὸ νοῦ του καὶ τὴν καρδιά του καὶ τὸν ἀνέδειξε «ἔντιμον καὶ ἐκλεκτὸν παρὰ Θεῷ» (Α΄ Πετρ. β΄ 4). Ἡ ἀσκητική του φωλιὰ ἔγινε πόλος ἕλξεως πλήθους Χριστιανῶν. Ἀπὸ πολλὰ μέρη ἔρχονταν νὰ τὸν δοῦν, νὰ τὸν συμβουλευθοῦν, νὰ τὸν θαυμάσουν. Ζητοῦσαν ν' ἀκούσουν τὴ διδασκαλία του, ν' ἀνακουφισθοῦν ψυχικὰ καὶ νὰ λάβουν τὴ χάρη καὶ τὴν εὐλογία του.

Ἡ ἀγάπη τοῦ Θεοδοσίου καὶ ἡ προθυμία του νὰ ἐξυπηρετήση τοὺς πάντες κατὰ τὴν «ἑκάστου ἰδίαν χρείαν» ἦταν στὸ ἔπακρο σαγηνευτικές. Πολλοὶ ἀπὸ τοὺς προσερχόμενους γοητευμένοι ἀπὸ τὴ διδασκαλία του ἐκδήλωναν τὴν ἐπιθυμία νὰ παραμείνουν γιὰ πάντα κοντά του. Ἔτσι ὁ Θεοδόσιος ἀναγκάσθηκε νὰ ἱδρύση κοινοβιακὸ μοναστήρι, στὰ ἔργα τοῦ ὁποίου πρωτοστατοῦσε μέχρι τὰ βαθιά του γεράματα. Διακονοῦσε ἀκούραστα στὴν ἐξυπηρέτηση τῶν ἄλλων καὶ στὴν ἀνακούφιση τῶν πασχόντων ἀπὸ σωματικὰ καὶ ψυχικὰ ἄλγη. Τὴ μνήμη τοῦ θανάτου εἶχε ἀχώριστο σύντροφο τῆς ζωῆς του. Τὴν θεωροῦσε ἀρχὴ τῆς πνευματικῆς προόδου. Καὶ τῶν ὀρθῶν δογμάτων τῆς πίστεως ὑπῆρξε ὑπέρμαχος. Ἰδιαίτερα ὑπεραμύνθηκε τῶν ἀποφάσεων τῆς ἁγίας Τετάρτης Οἰκουμενικῆς Συνόδου.

Ὁ καλός μας Θεὸς ἀντάμειψε τὸν Θεοδόσιο μὲ τὸ χάρισμα τῆς θαυματουργίας καὶ ἐνῶ ζοῦσε καὶ μετὰ τὸ θάνατό του, τὴν αἱμοραγία γυναικὸς σταμάτησε, τὶς ἀποθῆκες σίτου εὐλόγησε καὶ ἐγέμισαν, παιδὶ ἀπὸ φρέαρ βαθὺ ἀνέβασε σῶο, στεῖρα γυναίκα ἀνέδειξε εὔτεκνη μητέρα, τὸν κόμητα Κήρυκο ἔδειξε ἄτρωτο στοὺς πολέμους, ἔσωσε ἀπὸ κλύδωνα κινδυνεύοντες ναυτικούς, ἔδωσε βροχὴ μὲ τὴν προσευχή του σὲ περίοδο ἀνομβρίας καὶ τὸ μεταγενέστερο σεισμὸ τῆς Ἀντιόχειας προφήτευσε.

Βαστάσας ἔτσι μέχρι τὰ βαθιά του γεράματα μὲ ἔργα καὶ λόγια τὸ ζυγὸ τοῦ Κυρίου παρέδωσε τὴν ἁγία του ψυχὴ εἰρηνικὰ στὰ χέρια τοῦ ἀγωνοθέτη Ἰησοῦ ἀπὸ τὸν ὁποῖο ἔλαβε «τὸ βραβεῖο τῆς ἄνω κλήσεως» (Φιλιπ. γ΄ 14). Ἦταν σὲ ἡλικία 105 ἐτῶν.

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
# ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ
# ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ
# ΗΜΩΝ ΘΕΟΔΟΣΙΟΝ
# ΤΟΝ ΚΟΙΝΟΒΙΑΡΧΗΝ

**οὗ ἡ μνήμη ἐπιτελεῖται τῇ ΙΑ΄ Ἰανουαρίου.**

**Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ «Κύριε εἰσάκουσον», μεθ' ὃ τὸ «Θεὸς Κύριος», ὡς συνήθως, καὶ τὸ ἑξῆς:**

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τοὺς προσπελάζοντας τῇ θείᾳ μονῇ σου
καὶ τὴν θερμήν σου ἀρωγὴν ἐκζητοῦντας,
τρισμάκαρ Θεοδόσιε, θαυμάτων πηγή,
ῥῦσαι ἐκ τῆς ὄφεως ἀνηκέστου μανίας
καὶ χορήγει δύναμιν, ὑγιείαν καὶ ῥῶσιν,
ἵνα σε πάντες μέλπωσιν ᾠδαῖς
ὡς ἰατρεῖον ἀδάπανον πίστεως.

**Δόξα. Τὸ αὐτό.**
**Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐρρύσατο
ἐκ τοσούτων κινδύνων;



τίς δὲ διεφύλαξεν
ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις
ἀεὶ ἐκ παντοίων δεινῶν.

**Εἶτα ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ ἀκροστιχίς:**

**«ΘΕΟΔΟΣΙΟΥ ΛΙΤΑΣ ΠΡΟΣ ΘΕΟΝ ΑΙΤΟΥΜΑΙ. Χ(αραλάμπους)».**

Ὠδὴ α΄. *Ἦχος πλ. α΄. Ὑγρὰν διοδεύσας.*

Θεὸν τὸν εἰρήναρχον καὶ ζωῆς
τὸν δότην ἀπαύστως
καθικέτευε τοῖς πιστῶς
αἰτοῦσι τὴν σὴν θερμὴν πρεσβείαν
ῥῶσιν διδόναι, κλεινὲ Θεοδόσιε.

Ἐρήμου θεόφρον ὑφηγητά,
ὑψίκομε φοῖνιξ,
καὶ δροσίζουσα Ἀερμών,
ἀπέλασον νέφη τῆς ψυχῆς μου
καὶ θεϊκὴν δρόσον ταύτῃ ἐπόμβρησον.

Ὁσίων πολύτιμε θησαυρέ,
κοινοῦ βίου πρῶτε,
Θεοδόσιε ἱερέ,
ὁσίως ἀνῦσαί με τὸν βίον
ἐν ψυχικῇ ἠρεμίᾳ ἀξίωσον.

**Θεοτοκίον.**

Δυσώπει, Πανύμνητε, ἐκτενῶς
τὸν τῆς ὑφηλίου
Κτίστην, μόνον σοφὸν Θεόν,
ὡς μήτηρ Αὐτοῦ προσφιλεστάτη,
πέμψαι ἡμῖν τὸ Αὐτοῦ θεῖον ἔλεος.

### Ὠδὴ γ΄. *Οὐρανίας ἁψῖδος.*

Ὁσιώτατε πάτερ,
Μωγαρισσοῦ καύχημα,
Βηθλεὲμ τὴν ἔρημον πᾶσαν
ὁ πόνων πλήθεσι
καθαγιάσας Χριστῷ
ὑπὲρ ἡμῶν τῶν τιμώντων
τὴν σὴν μνήμην πρέσβευε,
ὦ Θεοδόσιε.

Στῦλος ὤφθης ἀζύγων,
καθηγητὴς πάνσοφος
καὶ ἀκέστωρ τῶν ἱκετῶν σου
πάνυ ταχύτατος·
διὸ προσπίπτοντές σοι
ἀναβοῶμεν ἐκ πάσης
συμφορᾶς ἀπάλλαξον,
Πάτερ, σοὺς πρόσφυγας.

Ἱκετεύομεν βέλη
τοῦ μιαροῦ δράκοντος
ἀφ᾽ ἡμῶν ἀπέλασον τάχος,
ἀσκητικώτατε,
ὁ τῇ δυνάμει Χριστοῦ
κατατροπώσας τὸν πλάνον
καὶ Αὐτοῦ τῇ χάριτι
δάφνας δρεψάμενος.

### Θεοτοκίον.

Οὐρανῶν ὑπερτέρα,
ἡ τὸν Χριστὸν Κύριον
ἐν τῇ σῇ νηδύϊ ἀφράστως,
Κόρη, χωρήσασα
τῆς σωζομένων τυχεῖν
μερίδος ἐν τῇ ἡμέρα,

ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΟΣΙΟΥ ΘΕΟΔΟΣΙΟΥ ΚΟΙΝΟΒΙΑΡΧΟΥ

Ἄσπιλε, τῆς κρίσεως
πάντας ἀξίωσον.

Διάσωσον
ἐξ ἀῤῥωστίας λοιμώδους καὶ πάσης βλάβης
τοὺς ἐν πίστει τῇ κραταιᾷ πρεσβείᾳ σου σπεύδοντας
φανέ, Θεοδόσιε, μονοτρόπων.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

### Αἴτησις καὶ τὸ Κάθισμα.
*Ἦχος β΄. Πρεσβεία θερμή.*

Χαρίτων κρατὴρ
καὶ φρέαρ ἀνεξάντλητον,
θαυμάτων πολλῶν
ἐπώφθης, Θεοδόσιε·
διὸ πάντες σπεύδοντες
τῇ θερμῇ, σοφέ, ἀντιλήψει σου
ἐκ χαλεπῶν κινδύνων, συμφορῶν
καὶ βλάβης ταχέως
ἐκλυτρούμεθα.

### Ὠδὴ δ΄. *Εἰσακήκοα Κύριε.*

Ὑπὲρ φύσιν τὴν βρότειον
ἠγωνίσω, ὄλβιε Θεοδόσιε,
τῶν ψυχῶν θεράπον γνήσιε
καὶ τῶν θλιβομένων καταφύγιον.

Ληστρικὰς ἀποδίωξον
ἐπιθέσεις, πάτερ, ἐκ τῶν τιμώντων σε
καὶ γαλήνην ἐπιβράβευσον
ταῖς ψυχαῖς αὐτῶν, ὦ Θεοδόσιε.

Ιατρεῖον ἀδάπανον
τὸ σεπτὸν σεμνεῖόν σου ἀναδέδεικται
ἀπελαῦνον ἅπαν νόσημα
ἐκ τῶν ἱκετῶν σου, Θεοδόσιε.

**Θεοτοκίον.**

Τίς ἀξίως ὑμνήσει σου,
ἔνδοξε Παντάνασσα, τὰ θαυμάσια,
ἐκβοῶμεν οἱ προστρέχοντες
τῇ ἀκαταπαύστῳ μεσιτείᾳ σου.

Ὠδὴ ε΄. *Φώτισον ἡμᾶς.*

Αδοντες φαιδρῶς
τὰ σὰ τίμια παλαίσματα
καὶ τοὺς πόνους σου βοῶμεν· ἐκ παθῶν
τοὺς σοὺς ἱκέτας
συντήρει, κλεινέ, ἀπήμονας.

Στέφος ἐκ Θεοῦ,
Θεοδόσιε, ἀπείληφας
τῶν σῶν ἀγώνων καὶ νῦν τὸν Λυτρωτὴν
καθικετεύεις
ὑπὲρ τῶν πιστῶς τιμώντων σε.

Πᾶσαν λοιμικὴν
φυγαδεύεις νόσον, ὅσιε,
τῇ στεῤῥᾷ σου παῤῥησίᾳ πρὸς Θεόν,
τῶν ἐν ἐρήμῳ
ἀζύγων ὦ ἀκροθίνιον.

**Θεοτοκίον.**

Ρῦσαι, Μαριάμ,
ἐκ λιμοῦ, σεισμοῦ καὶ θλίψεων
τοὺς κραυγάζοντας ἐν πίστει ἀκλινεῖ·
χαίροις τοῦ κόσμου,
Μητρόθεε, παραμύθιον.



Ὠδὴ στ΄. *Τὴν δέησιν.*

Οἱ μώλωπες τῆς ψυχῆς προσώζεσαν
τῆς δυστήνου μου, ἀζύγων Ἀλείπτα,
καὶ δυσωδίαν φρικτὴν ἐμποιοῦσιν,
ἀλλὰ προστρέχων τῇ θείᾳ δυνάμει σου
ἀναβοῶ σοι εὐλαβῶς·
τὰς πληγάς μου ταχὺ ἀποξήρανον.

Στενώσεως λυπηρᾶς, κακώσεων
καὶ σκανδάλων ἀπολύτρωσαι τάχος
τοὺς σοὺς ἱκέτας, ὡς πένητα πάλαι
ἐκ τοῦ θυμοῦ διασώσας τοῦ λέοντος,
φιλάνθρωπε θαυματουργέ,
ἀσκητὰ γεραρέ, Θεοδόσιε.

Θεράπευσον τῆς ψυχῆς μου τραύματα
καὶ τοῦ σώματος πολλὰς ἀλγηδόνας,
ὁ θεραπεύσας γυνὴν ἀψαμένην
τοῦ σοῦ κρασπέδου, σοφὲ Θεοδόσιε,
ἐξ ἀνιάτου καὶ δεινῆς
ἀσθενείας, δυνάμει τῆς πίστεως.

**Θεοτοκίον.**

Εκύκλωσαν ὥσπερ τίγρεις ἄγριαι
τὴν ψυχήν μου καὶ ἀκόρεστοι κῦνες,
ἁγνὴ Παρθένε, Θεόνυμφε Κόρη,
αἱ τοῦ δολίου δυνάμεις καὶ ἕλκουσι
πρὸς Ἅδην ταύτην· πλὴν θαῤῥῶν
τῇ σῇ σκέπῃ ταχὺ διασῴζομαι.

### Αἴτησις καὶ τὸ Κοντάκιον.

*Ἦχος β΄ Προστασία τῶν Χριστιανῶν.*

Ἡγεμὼν τῆς κοινῆς βιοτῆς τε καὶ πρώταρχε,
ἀρετῶν θεϊκῶν ὅρος ὄντως ὑψίλοφον,
μὴ παρίδῃς ἀπεγνωσμένας, ὅσιε, φωνὰς
τῶν προσφύγων σου, ἀλλὰ ταχὺ
τῷ Λυτρωτῇ σου ἐκτενῶς,
Θεοδόσιε, πρέσβευε,
ἵνα ἐξ ἀμετρήτων
κινδύνων καὶ ἀλγηδόνων
ῥυσθῶμεν ἅπαντες ἡμεῖς
οἱ τὴν μνήμην σου γεραίροντες.

### Προκείμενον. *Ἦχος β΄.*

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχος. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;

### Εὐαγγέλιον.

(Λουκ. στ΄ 17-33)

Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο· καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγε· Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ· μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε· μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.



### Δόξα.

Ταῖς τοῦ σοῦ Ὁσίου
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

### Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

### Προσόμοιον.

**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

*Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.*

Κλῆμα ὥσπερ δίκαιος
ἐν τοῦ Κυρίου τῷ οἴκῳ
φυτευθὲν ἐξήνθησας
βότρεις ἐνασκήσεως
καὶ πραότητος,
ἐξ ὧν καὶ τρέφονται
οἱ σὲ ἀνυμνοῦντες
καὶ προστρέχοντες σῇ χάριτι
ἐν τῷ τεμένει σου
τῷ σεπτῷ καὶ πίστει τὸν Κύριον,
τοῦ κόσμου θεῖον ἥλιον
καὶ Θεὸν τῶν ὅλων, δοξάζουσι·
κλέος μονοτρόπων,
σοφίας, Θεοδόσιε, κρουνέ,
μὴ μὲ παρίδῃς τὸν ἄθλιον
τὸν παρακαλοῦντά σε.

Σῶσον, ὁ Θεὸς τὸν λαόν σου...

Ὠδὴ ζ΄. *Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ολονύκτοις καμάτοις,
προσευχαῖς ἀσιγήτοις, νηστείαις, δάκρυσι
καὶ κλίσεσι γονάτων
τοῦ πλάνου ἐτροπόσω
τὰς ὀρδάς, Θεοδόσιε,
καὶ νῦν ἐν πόλῳ οἰκῶν
ὑπὲρ ἡμῶν πρεσβεύεις.

Νοερῶς ἱκετεύω
σέ, ἐρήμου πολῖτα, ὦ Θεοδόσιε,
ἀπὸ λοιμώδους νόσου,
ἀνάγκης τε καὶ βλάβης
ἀσινῆ διαφύλαττε,
κἀμὲ τὸν μέλποντά σε
ἀπαύστως εἰς αἰῶνας.

Ασωμάτων τοῖς δήμοις
καὶ ὁσίων ταῖς τάξεσι, Θεοδόσιε,
ἀριθμηθεὶς πρεσβεύεις
ὑπὲρ τῶν σὲ τιμώντων
τῷ Δεσπότῃ τῆς κτίσεως,
γεώργιον ἀρετῶν
καὶ στῦλε ἐγκρατείας.

**Θεοτοκίον.**

Ιατρὸν σὲ πλουτοῦμεν,
Ὑπερύμνητε Κόρη, ἐν γῇ θειότατον
καὶ εὐσεβεῖ τῇ πίστει
δεόμεθά σου τάχος
πᾶσαν νόσον ἀπέλασον
ἐπώδυνον ἀφ' ἡμῶν
τῶν σὲ μεγαλυνόντων.



Ὠδὴ η΄. *Τὸν Βασιλέα.*

Τῶν μοναζόντων
ὑπογραμμὲ καὶ ἐρήμου
πολιοῦχε, Θεοδόσιε τρισμάκαρ,
μέμνησο τῶν πίστει
σὲ ἀνυμνολογούντων.

Οσίων πέλεις
πανευκλεὴς ὑφηγήτωρ,
Θεοδόσιε, τῶν κοινοβίων πρῶτε,
καὶ θερμὸς μεσίτης
ἡμῶν πρὸς τὸν Σωτῆρα.

Υμνον σοὶ ψάλλει
ἡ τῶν πιστῶν σου χορεία
ἐν μονῇ σου, Θεοδόσιε, τῇ θείᾳ
σπεύδουσα ἐν δίναις
τῇ σῇ ἐπιστασίᾳ.

**Θεοτοκίον.**

Μῆτερ ἁγία,
πρὸς ἀφθαρσίας λειμῶνας
ὀλισθήσαντας φθορᾷ τῆς ἁμαρτίας
ἴθυνον σοὺς δούλους
τοὺς σὲ δοξολογοῦντας.

Ὠδὴ θ΄. *Κυρίως Θεοτόκον.*

Ακοίμητος προστάτης
τῆς μονῆς σου πέλεις
καὶ ἀντιλήπτωρ ταχὺς τῶν τιμώντων σε,
κοινοβιάρχα θεόφρον,
ὦ Θεοδόσιε.

Ιλέωσαι τὸν Κτίστην
ὑπὲρ τῶν τὴν σὴν μνήμην
ἐπιτελούντων, σοφὲ Θεοδόσιε,
καὶ εὐφημούντων ἀπαύστως
τὰ σὰ παλαίσματα.

Χαρίτωσον, ἐρήμου
κλέϊσμα, τοὺς πόθῳ
προσπεφευγότας τῇ θείᾳ πρεσβείᾳ σου
καὶ εἰρηναῖον τὸν βίον
τούτοις σὺ δώρησαι.

**Θεοτοκίον.**

Ανάκτορον τοῦ Κτίστου
πάγχρυσον καὶ θρόνε
Αὐτοῦ πολύτιμε, κόσμου Παντάνασσα,
τῆς Ἐκκλησίας τὰ σκάνδαλα
τάχος κόπασον.

Ἄξιόν ἐστιν..**Καὶ τὰ παρόντα Μεγαλυνάρια.**

Τὴν κοινὴν ἐδίδαξας βιοτὴν
ἐν ταῖς θείαις μάνδραις,
Θεοδόσιε ἱερέ,
καὶ ταῖς σῶν δακρύων
ῥοαῖς τὸ τῆς ἐρήμου
κατήρδευσας, παμμάκαρ,
ἄγονον ἔδαφος.

Υψος δυσαντίβλεπτον ἀρετῶν,
ἴνδαλμα σοφίας,
Θεοδόσιε ἱερέ,
τῆς κοινῆς ἐν μάνδραις
βιώσεως ἡγήτωρ
καὶ κλέϊσμα ἀζύγων
ὤφθης θεόσδοτον.



Κοινοβίων πρῶτε καὶ εὐθαλὲς
ἄνθος τῆς ἐρήμου,
Θεοδόσιε, τὸν Θεὸν
ἐκτενῶς δυσώπει
ὑπὲρ τῶν ἀνυμνούντων
τῶν σῶν στεῤῥῶν ἀγώνων
τὰ κατορθώματα.

Εκ δεινῶν παντοίων τὴν σὴν μονὴν
ἄτρωτον, συντήρει,
Θεοδόσιε ἱερὲ,
καὶ τοὺς σοὺς ἱκέτας
ἐκ τῆς τοῦ παλαμναίου
μανίας, ἵνα πάντες
σὲ μεγαλύνουσι.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες
μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**
*Ἦχος α'. Τῆς ἐρήμου πολίτης.*

Τῆς κοινῆς τῶν ἀζύγων βιοτῆς ὤφθης πρώταρχος,
ἡγεμών τε, πάτερ, ὁσίων καλλονή, Θεοδόσιε·
ἐκ ῥίζης γὰρ τιμίας ἐκφυεὶς
ἀνέθηλας καρποὺς τῶν ἀρετῶν
τοὺς προξένους σωτηρίας·
διὸ σοὶ γηθοσύνως ἀνακράζομεν·
Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ,
δόξα τῷ σὲ θαυμαστώσαντι,
δόξα τῷ ὁδηγόν σε πρὸς ζωὴν
ἄληκτον δείξαντι.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς:

*Ἦχος β'. Πάντων προστατεύεις ἀγαθή.*

Πρῶτε κοινοβίων ἱερέ,
πρότυπον σεπτὸν μονοτρόπων,
θεοειδὲς ἀσκητά,
ῥῦσαι τοὺς ἱκέτας σου
ἐξ ἐνεστώσης φθορᾶς
δυσμενοῦς τοῦ ἀλάστορος
μανίας καὶ βλάβης,
ἵνα μεγαλύνωμεν σὲ εἰς αἰῶνα φαιδρῶς,
πάτερ Θεοδόσιε θεῖε,
σκέπη κραταιά τε καὶ τεῖχος
τῶν προσπελαζόντων τῷ τεμένει σου.

Δέσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

ΤΕΛΟΣ
ΚΑΙ ΔΟΞΑ
ΤΩ ΜΟΝΩ ΑΛΗΘΙΝΩ
ΘΕΩ ΗΜΩΝ

